*Holy Bible Aionian Edition* ®
Η Καινή Διαθήκη
Greek NT Text-Critical

Creative Commons Attribution 4.0 International, 2018-2024
Source text: eBible.org
Source version: 10/11/2024
Source copyright: Public Domain
Robert Adam Boyd, 2018

Formatted by Speedata Publisher 4.19.26 (Pro) on 10/15/2024
100% Free to Copy and Print
TOR Anonymously
https://AionianBible.org

Published by Nainoia Inc
https://Nainoia-Inc.signedon.net

We pray for a modern Creative Commons translation in every language
Translator resources at https://AionianBible.org/Third-Party-Publisher-Resources
Report content and format concerns to Nainoia Inc
Volunteer help is welcome and appreciated!

ἐξουσίαν; Τὸ ἀγαθὸν ποίει, καὶ ἕξεις ἔπαινον
ἐξ αὐτῆς· 4 Θεοῦ γὰρ διάκονός ἐστί σοι εἰς τὸ
ἀγαθόν. Ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ· οὐ γὰρ
εἰκῇ τὴν μάχαιραν φορεῖ· Θεοῦ γὰρ διάκονός
ἐστιν, ἔκδικος εἰς ὀργὴν τῷ τὸ κακὸν πράσσοντι.
5 Διὸ ἀνάγκη ὑποτάσσεσθαι, οὐ μόνον διὰ τὴν
ὀργήν, ἀλλὰ καὶ διὰ τὴν συνείδησιν. 6 Διὰ
τοῦτο γὰρ καὶ φόρους τελεῖτε· λειτουργοὶ γὰρ
Θεοῦ εἰσιν, εἰς αὐτὸ τοῦτο προσκαρτεροῦντες. 7
Ἀπόδοτε οὖν πᾶσι τὰς ὀφειλάς· τῷ τὸν φόρον
τὸν φόρον· τῷ τὸ τέλος τὸ τέλος· τῷ τὸν φόβον
τὸν φόβον· τῷ τὴν τιμὴν τὴν τιμήν. 8 Μηδενὶ
μηδὲν ὀφείλετε, εἰ μὴ τὸ ἀγαπᾷν ἀλλήλους·
ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον, νόμον πεπλήρωκε.
9 Τὸ γάρ, Οὐ μοιχεύσεις, οὐ φονεύσεις, οὐ
κλέψεις, οὐκ ἐπιθυμήσεις, καὶ εἴ τις ἑτέρα
ἐντολή, ἐν τούτῳ τῷ λόγῳ ἀνακεφαλαιοῦται,
ἐν τῷ, Ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν.
10 Ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται·
πλήρωμα οὖν νόμου ἡ ἀγάπη. 11 Καὶ τοῦτο,
εἰδότες τὸν καιρόν, ὅτι ὥρα ἡμᾶς ἤδη ἐξ ὕπνου
ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ
ὅτε ἐπιστεύσαμεν. 12 Ἡ νὺξ προέκοψεν, ἡ δὲ
ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ
σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός. 13
Ὡς ἐν ἡμέρᾳ, εὐσχημόνως περιπατήσωμεν, μὴ
κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ
ἔριδι καὶ ζήλῳ. 14 Ἀλλ᾿ ἐνδύσασθε τὸν Κύριον
Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ
ποιεῖσθε, εἰς ἐπιθυμίας.

**14** Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει
προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν.
2 Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν
λάχανα ἐσθίει. 3 Ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα
μὴ ἐξουθενείτω, καὶ ὁ μὴ ἐσθίων τὸν ἐσθίοντα
μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. 4
Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ
κυρίῳ στήκει ἢ πίπτει. Σταθήσεται δέ· δυνατὸς
γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν. 5 Ὃς μὲν κρίνει
ἡμέραν παρ᾿ ἡμέραν, ὃς δὲ κρίνει πᾶσαν ἡμέραν.
Ἕκαστος ἐν τῷ ἰδίῳ νοῒ πληροφορείσθω. 6 Ὁ
φρονῶν τὴν ἡμέραν, Κυρίῳ φρονεῖ· καὶ ὁ μὴ
φρονῶν τὴν ἡμέραν, Κυρίῳ οὐ φρονεῖ. Καὶ ὁ
ἐσθίων Κυρίῳ ἐσθίει, εὐχαριστεῖ γὰρ τῷ Θεῷ· καὶ
ὁ μὴ ἐσθίων Κυρίῳ οὐκ ἐσθίει, καὶ εὐχαριστεῖ
τῷ Θεῷ. 7 Οὐδεὶς γὰρ ἡμῶν ἑαυτῷ ζῇ, καὶ
οὐδεὶς ἑαυτῷ ἀποθνῄσκει. 8 Ἐάν τε γὰρ ζῶμεν,
τῷ Κυρίῳ ζῶμεν· ἐάν τε ἀποθνῄσκωμεν, τῷ
Κυρίῳ ἀποθνῄσκομεν· ἐάν τε οὖν ζῶμεν, ἐάν τε
ἀποθνῄσκωμεν, τοῦ Κυρίου ἐσμέν. 9 Εἰς τοῦτο
γὰρ Χριστὸς καὶ ἀπέθανε καὶ ἀνέστη καὶ ἔζησεν,
ἵνα καὶ νεκρῶν καὶ ζώντων κυριεύσῃ. 10 Σὺ δὲ τί
κρίνεις τὸν ἀδελφόν σου; Ἢ καὶ σὺ τί ἐξουθενεῖς
τὸν ἀδελφόν σου; Πάντες γὰρ παραστησόμεθα
τῷ βήματι τοῦ Χριστοῦ. 11 Γέγραπται γάρ, Ζῶ
ἐγώ, λέγει Κύριος· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ
πᾶσα γλῶσσα ἐξομολογήσεται τῷ Θεῷ. 12 Ἄρα
οὖν ἕκαστος ἡμῶν περὶ ἑαυτοῦ λόγον δώσει τῷ
Θεῷ. 13 Μηκέτι οὖν ἀλλήλους κρίνωμεν· ἀλλὰ
τοῦτο κρίνατε μᾶλλον, τὸ μὴ τιθέναι πρόσκομμα
τῷ ἀδελφῷ ἢ σκάνδαλον. 14 Οἶδα καὶ πέπεισμαι
ἐν Κυρίῳ Ἰησοῦ, ὅτι οὐδὲν κοινὸν δι᾿ αὐτοῦ·
εἰ μὴ τῷ λογιζομένῳ τι κοινὸν εἶναι, ἐκείνῳ
κοινόν. 15 Εἰ δὲ διὰ βρῶμα ὁ ἀδελφός σου
λυπεῖται, οὐκέτι κατὰ ἀγάπην περιπατεῖς. Μὴ τῷ
βρώματί σου ἐκεῖνον ἀπόλλυε, ὑπὲρ οὗ Χριστὸς